πάντα εἴπω, ἔστιν ἐν αὐτῷ τὰ ἀγνοούμενα· ἀστέρων φύσις, μεγέθη τούτων, διαστήματα, κινήσεις, συνδρομαί, ἀποστάσεις, αἱ λοιπαὶ σχέσεις, αὐτὴ ἡ οὐσία τοῦ στερεώματος, τὸ βάθος τὸ ἀπὸ τῆς κοίλης περιφερείας ἐπὶ τὴν κυρτὴν ἐπιφάνειαν. Ἀλλ' ὅμως οὐκ ἂν εἴποιμεν ἀόρατον εἶναι τὸν οὐρανὸν διὰ τὰ ἀγνοούμενα, ἀλλ' ὁρατὸν διὰ τὴν μετρίαν αὐτοῦ κατανόησιν. Οὕτω δὴ καὶ περὶ Θεοῦ. Εἰ μὲν βεβλαμμένος ἐστὶν ὑπὸ δαιμόνων ὁ νοῦς, εἰδωλολατρήσει ἢ πρὸς ἄλλο τι εἶδος ἀσεβείας παρατραπήσεται. Εἰ δὲ τῇ τοῦ Πνεύματος ἑαυτὸν ἐπιδέδωκε βοηθείᾳ, τὴν ἀλήθειαν γνωρίσει καὶ Θεὸν ἐπιγνώσεται. Ἐπιγνώσεται δέ, ὡς ὁ Ἀπόστολος εἶπεν, ἐκ μέρους· ἐν δὲ τῇ μετὰ ταῦτα ζωῇ, τελεώτερον· « Ὅταν γὰρ ἔλθῃ τὸ τελειότερον, τὸ ἐκ μέρους καταργηθήσεται ». Ὥστε καὶ καλὸν τοῦ νοῦ τὸ κριτήριον καὶ πρὸς εὔχρηστον τέλος, τὴν Θεοῦ κατανόησιν, δεδομένον, ἐνεργοῦν μέντοι τοσοῦτον ὅσον αὐτῷ χωρητόν.

## CCXXXIV

## ΤΩ ΑΥΤΩ ΠΡΟΣ ΑΛΛΟ ΕΡΩΤΗΜΑ

**1** Ὃ οἶδας σέβεις, ἢ ὃ ἀγνοεῖς; Ἐὰν ἀποκρινώμεθα ὅτι ὃ οἴδαμεν τοῦτο προσκυνοῦμεν, ταχεῖα παρ' αὐτῶν ἡ ἀπάντησις· τί ἡ οὐσία τοῦ προσκυνουμένου; Ἐὰν δὲ ἀγνοεῖν